# ARNOLD'S SCHOOL CLASSICS. THE HECUBA OF EURIPIDES, WITH ENGLISH NOTES

Published @ 2017 Trieste Publishing Pty Ltd

ISBN 9780649023202

Arnold's School Classics. The Hecuba of Euripides, with English notes by Euripides & Thomas Kerchever Arnold

Except for use in any review, the reproduction or utilisation of this work in whole or in part in any form by any electronic, mechanical or other means, now known or hereafter invented, including xerography, photocopying and recording, or in any information storage or retrieval system, is forbidden without the permission of the publisher, Trieste Publishing Pty Ltd, PO Box 1576 Collingwood, Victoria 3066 Australia.

All rights reserved.

Edited by Trieste Publishing Pty Ltd.
Cover @ 2017

This book is sold subject to the condition that it shall not, by way of trade or otherwise, be lent, re-sold, hired out, or otherwise circulated without the publisher's prior consent in any form or binding or cover other than that in which it is published and without a similar condition including this condition being imposed on the subsequent purchaser.

www.triestepublishing.com

EURIPIDES & THOMAS KERCHEVER ARNOLD

# ARNOLD'S SCHOOL CLASSICS. THE HECUBA OF EURIPIDES, WITH ENGLISH NOTES

Trieste

Arnold's School Classics.

# THE HECUBA

OF

# EURIPIDES,

WITH ENGLISH NOTES.

BY THE REV.
THOMAS KERCHEVER ARNOLD, M.A.
RECTOR OF LYNDON,
AND LATE FELLOW OF TRINITY COLLEGE, CAMBRIDGE.

LONDON:
FRANCIS & JOHN RIVINGTON,
ST. PAUL'S CHURCH YARD, AND WATERLOO PLACE.
1852.

262. g. 126.

LONDON:
GILBERT & RIVINGTON, PRINTERS,
ST. JOHN'S SQUARE.

# PREFACE.

THE text of this play is that of Pflugk (as revised by Klotz): and the greater part of the notes are taken, in substance or in words, from his complete and excellent edition, which leaves little to be desired. The rest are taken from Hermann, Hartung, and two small French editions by Dübner and Leprévost respectively.

T. K A.

GRASMERE,
Aug. 23, 1852.

---

EXPLANATION OF MARKS, &c.

*Pfl.* = Pflugk
*H.* = Hermann.
*Db.* = Dübner.
*L.* = Leprévost.

*Musgr.* = Musgrave.

JN. = *join* the words in the following order, in construing the passage.

The grammatical references are:

1) to the Editor's larger Greek Grammar.
2) to smaller Gr. Gr. [in ( )].
3) to Mr. Jelf's Kühner (with § prefixed).

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.

ΕΚΑΒΗ.

ΧΟΡΟΣ ΑΙΧΜΑΛΩΤΙΔΩΝ ΓΥΝΑΙΚΩΝ.

ΠΟΛΥΞΕΝΗ.

ΟΔΥΣΣΕΥΣ.

ΤΑΛΘΥΒΙΟΣ.

ΘΕΡΑΠΑΙΝΑ.

ΑΓΑΜΕΜΝΩΝ.

ΠΟΛΥΜΗΣΤΩΡ ΚΑΙ ΟΙ ΠΑΙΔΕΣ ΑΥΤΟΥ.

# ΕΥΡΙΠΙΔΟΥ ΕΚΑΒΗ.

---

## ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.

Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπών, ἵν᾽ Ἅιδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρός, ὅς μ᾽, ἐπεὶ Φρυγῶν πόλιν
κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
δείσας ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς
Πολυμήστορος πρὸς δῶμα, Θρῃκίου ξένου,
ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα
σπείρει φίλιππον λαὸν εὐθύνων δορί.
πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
πατήρ, ἵν᾽, εἴ ποτ᾽ Ἰλίου τείχη πέσοι,
τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
νεώτατος δ᾽ ἦν Πριαμιδῶν· ὃ καί με γῆς
ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα
οὔτ᾽ ἔγχος οἷός τ᾽ ἦν νέῳ βραχίονι.
ἕως μὲν οὖν γῆς ὀρθ᾽ ἔκειθ᾽ ὁρίσματα,
πύργοι τ᾽ ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονός,
Ἕκτωρ τ᾽ ἀδελφὸς οὑμὸς εὐτύχει δορί,
καλῶς παρ᾽ ἀνδρὶ Θρῃκί, πατρῴῳ ξένῳ,
τροφαῖσιν, ὥς τις πτύρθος, ηὐξόμην τάλας.
ἐπεὶ δὲ Τροία θ᾽ Ἕκτορός τ᾽ ἀπόλλυται
ψυχή, πατρῴα θ᾽ ἑστία κατεσκάφη,
αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πίτνει,
σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
ξένος πατρῷος, καὶ κτανὼν ἐς οἶδμ᾽ ἁλὸς
μεθῆχ᾽, ἵν᾽ αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
κεῖμαι δ᾽ ἐπ᾽ ἀκταῖς, ἄλλοτ᾽ ἐν πόντου σάλῳ,
πολλοῖς διαύλοις κυμάτων φορούμενος,
ἄκλαυστος, ἄταφος· νῦν δ᾽ ὑπὲρ μητρὸς φίλης

Ἑκάβης ἀίσσω σῶμ' ἐρημώσας ἐμόν,
τριταῖον ἤδη φέγγος αἰωρούμενος,
ὅσονπερ ἐν γῇ τῇδε Χερσονησίᾳ
μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες ἥσυχοι
θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρῃκίας χθονός·
ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς
κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικὸν
πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην·
αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.
καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων
ἔσται πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει
θανεῖν ἀδελφὴν τῷδ' ἐμὴν ἐν ἤματι.
δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
μήτηρ, ἐμοῦ τε τῆς τε δυστήνου κόρης.
φανήσομαι γάρ, ὡς τάφου τλήμων τύχω,
δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
τύμβου κυρῆσαι κεἰς χέρας μητρὸς πεσεῖν.
τοὐμὸν μὲν οὖν ὅσονπερ ἤθελον τυχεῖν
ἔσται· γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ· περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος φάντασμα δειμαίνουσ' ἐμόν.
φεῦ.
ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς,
ὅσονπερ εὖ ποτ'. ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

ΕΚΑΒΗ.

ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
ἄγετ', ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρῳάδες, ὑμῖν, πρόσθε δ' ἄνασσαν.
λάβετε, φέρετε, πέμπετ', ἀείρετέ μου
γεραιᾶς χειρὸς προσλαζύμεναι·
κἀγὼ σκολιῷ σκίπωνι χερὸς
διερειδομένα σπεύσω βραδύπουν
ἤλυσιν ἄρθρων προτιθεῖσα.
ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,

τί ποτ' αἴρομαι ἔννυχος οὕτω
δείμασι, φάσμασιν; ὦ πότνια χθών,
μελανοπτερύγων μᾶτερ ὀνείρων,
ἀποπέμπομαι ἔννυχον ὄψιν,
ἂν περὶ παιδὸς ἐμοῦ τοῦ σωζομένου κατὰ Θρήκην
ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι' ὀνείρων
φοβερὰν ὄψιν ἔμαθον, ἐδάην.
ὦ χθόνιοι θεοί, σώσατε παῖδ' ἐμόν,
ὃς μόνος οἴκων ἄγκυρά τ' ἐμῶν
τὴν χιονώδη Θρήκην κατέχει
ξείνου πατρῴου φυλακαῖσιν.
ἔσται τι νέον·
ἥξει τι μέλος γοερὸν γοεραῖς.
οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
φρίσσει, ταρβεῖ.
ποῦ ποτε θείαν Ἑλένου ψυχὰν
ἢ Κασάνδρας ἐσίδω, Τρῳάδες,
ὥς μοι κρίνωσιν ὀνείρους;
εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ
σφαζομέναν, ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ
οἰκτρῶς. καὶ τόδε δεῖμά μοι.
ἦλθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
φάντασμ' Ἀχιλέως,
ᾔτει δὲ γέρας τῶν πολυμόχθων
τινὰ Τρωϊάδων.
ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
πέμψατε, δαίμονες, ἱκετεύω.

## ΧΟΡΟΣ.

Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην
τὰς δεσποσύνους σκηνὰς προλιποῦσ',
ἵν' ἐκληρώθην καὶ προσετάχθην
δούλη, πόλεως ἀπελαυνομένη
τῆς Ἰλιάδος, λόγχης αἰχμῇ
δοριθήρατος πρὸς Ἀχαιῶν,
οὐδὲν παθέων ἀποκουφίζουσ',
ἀλλ' ἀγγελίας βάρος ἀραμένη
μέγα, σοί τε, γύναι, κῆρυξ ἀχέων.
ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ